μένον, ἀλλὰ παρ' ἑαυτῶν πάσχονται.

Ἵνα δὲ σαφέστερος ὁ λόγος γένηται, φέρε πρῶτον ἐξετάζωμεν τί ἐστιν ἀδικία, καὶ περὶ ποίων πραγμάτων ὕλην συνίστασθαι πέφυκε· καὶ τί ποτέ ἐστιν ἀνθρωπίνη ἀρετή, καὶ τί τὸ λυμαινόμενον ταύτην· καὶ τί ποτε δοκεῖ μὲν λυμαίνεσθαι, οὐ λυμαίνεται δέ· οἷον, (δεῖ γὰρ ἐκ παραδειγμάτων ἐντελῆ ποιῆσαι τὸν λόγον) ἕκαστον τῶν πραγμάτων ἓν ἔχει τὸ λυμαινόμενον. Ὁ σίδηρος τὸν ἰόν, τὴν σῆτα τὸ ἔριον, τῶν προβάτων ἀγέλαι τοὺς λύκους· καὶ οἴνου μὲν ἀρετῆς βλάβη τὸ παρατραπῆναι καὶ εἰς ὀξίνην καταπεσεῖν, μέλιτος δὲ τὸ τὴν σύμφυτον ἀπολέσαι γλυκύτητα καὶ εἰς πικρὸν κατενεχθῆναι χυμόν. λυμαίνεται δὲ καὶ ληΐων κόμαις ἐρυσίβη, καὶ αὐχμός. καὶ ἀμπέλων καρπῷ καὶ φύλλοις καὶ κλήμασι τὸ πονηρὸν τῶν ἀ-

*lio aliquo afficiuntur, sed à se ipsi.*

*Vt autem dilucidior existat oratio, age primùm inquiramus, quid sit damnum, & in quarũ rerum materia versari soleat; & quid tandem sit humana virtus, quidq́ue eam lædat; quid item videatur lædere, nec tamen lædat. Exempli caussa (exèmplis enim oratio perficienda est) singulæ res à singulis læduntur, ferrum à rubigine, ouiũ greges à lupis, lana à tinea. At vini quidẽ vis labefactatur, & in vappã commutatur, mellis verò, cùm ingenitam amittit dulcedinem, & in amarum liquorem conuertitur. Triticearũ frugum herbis obest erugo, & siccitas, vitium fructui, pampinis & palmitibus malus locustarum exer-*